ὕδωρ ἐν αὐτῷ ῥᾳδίως καὶ θερμαίνεται περιτιθεμένων ψυχρῶν ἢ θερμῶν, ὥστε διὰ τῶν πόρων τούτων καὶ ἰὸν δέχεσθαι, τοῦ χρυσοῦ πυκνοτάτου ὄντος.

30.

Ibid. in OD 143–145:

*Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων*
*χάλκειον ποίησ᾽, οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,*
*ἐκ μελιᾶν δεινόν τε καὶ ὄβριμον – – –*

Τοῦτο τὸ γένος εἰκότως τρίτον οὔτε νοερὸν ὂν οὔτε πανοῦργον, ἀλλὰ δεινὸν ὄντως καὶ εἰς τυραννικὴν δυναστείαν ἐκλακτίσαν καὶ φονικόν, τῶν σωμάτων μόνων ἐπιμελές. διό φησιν

῾ἄπλατοι, μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι
ἐξ ὤμων ἐπέφυκον᾽.

δηλοῖ γὰρ ὅτι τῶν σωμάτων τὴν ῥώμην ἤσκουν οἱ ἐν τούτῳ τῷ γένει, τῶν δ᾽ ἄλλων ἀμελοῦντες περὶ τὴν τῶν ὅπλων κατασκευὴν διέτριβον καὶ τῷ χαλκῷ πρὸς τοῦτο ἐχρῶντο, ὡς τῷ σιδήρῳ πρὸς γεωργίαν, διά τινος βαφῆς τὸν χαλκὸν στερροποιοῦντες ὄντα φύσει μαλακόν. ἐκλιπούσης δὲ τῆς βαφῆς, ἦλθον ἐπὶ τὴν τοῦ σιδήρου καὶ ἐν τοῖς πολέμοις χρῆσιν.* τοῦτο δὴ τὸ χαλκοῦν γένος ῾ἐκ μελιᾶν᾽ εἶπε φῦναι δωρικῶς, ἀντὶ τοῦ ἐκ τῶν μελιῶν τῶν δένδρων, οὐχὶ ἐκ τῶν Μελιῶν Νυμφῶν (καὶ γὰρ Μελίας Νύμφας εἶναί φασιν· ἄτοπον δὲ τὸ ἐκ τοῦ θείου γένους ὄντας θηριώδεις φῦναι) ἀλλ᾽ ὡς ἐκ δένδρων στερεῶν καὶ δυσσήπτων γεγονότας τά τε σώματα γενέσθαι ἰσχύοντας καὶ τὰ ἤθη ἀτεράμονας καὶ βιαίους.*